Ἄνθιμος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ρώμης καὶ οἰκουμενικός πατριάρχης

Ἱερώτατε Μητροπολῖτα Χαλκηδόνος, ὑπέρτερε καὶ ἔξαρχε πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι λίαν ἀγαπητὲ καὶ περιπόθητε ἀδελφὲ καὶ συλλειτουργὲ, καὶ ἐντιμότατοι κληρικοὶ, εὐλαβέστατοι ἱερεῖς, χρήσιμοι γέροντες καὶ τίμιοι προεστῶτες καὶ πρόκριτοι τῆς ἐπαρχίας ταύτης καὶ τῆς χώρας Ἀρετζοῦς, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ θεοῦ.

Οἱ συγγενεῖς καὶ κληρονόμοι τοῦ πρό τινος αὐτόθι ἄπαιδος ἀποβιώσαντος Παναγιώτου Σωτήρογλου, ἀνήγγειλαν τῇ Ἐκκλησίᾳ, ὅτι μετὰ θάνατον τοῦ μακαρίτου ἐκείνου ἡρπάγησαν καὶ ἐσφετερίσθησαν ἐκ τοῦ ἐργαστηρίου αὐτοῦ τὰ τε εἰσιτήρια τῆς ληξοδοσίας αὐτοῦ καὶ ἄλλα διάφορα ἀναγκαῖα ἔγγραφα, ἐν οἷς ὑπῆρχον καὶ ὁμολογίαι χρεωστικαὶ καὶ χαρτονομίσματα, καθὼς καὶ πολλὰ ἄλλα διαφόρου εἴδους πράγματα, ἐφ᾽ ᾧ καὶ κατὰ τῶν ἁρπασάντων αὐτὰ, ἔτι δὲ καὶ κατὰ τῶν μὴ ἐχόντων λαμβάνειν, ἐμφανίζονται ἤδη ὡς δανεισταὶ καὶ κ[α]διτόροι αὐτοῦ, πρὸς δὲ καὶ κατὰ τῶν εἰδότων καὶ μὴ μαρτυρούντων τὴν ἀλήθειαν, ἐξῃτήσαντο ἐνθέρμως τὸ παρὸν ἡμέτερον Πατριαρχικὸν καὶ Συνοδικὸν φρικτὸν ἐπιτίμιον.

Τούτου χάριν γράφοντες καὶ οὕτως ἔχει, ἀποφαινόμεθα Συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς Ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ὅσοι καὶ ὁποῖοι τῶν χριστιανῶν οἰκεῖοι τοῦ ἀποθανόντος ἢ ξένοι ὁποιασδήποτε τάξεως, αἰσχροκερδείᾳ κινούμενοι, ἥρπασαν μετὰ θάνατον ἐκείνου καὶ ἐσφετερίσαντο τὰ κατάστιχα τῆς ληξοδοσίας αὐτοῦ καὶ λοιπὰ ἀναγκαῖα ἔγγραφα ἢ ὁμολογίας καὶ χαρτονομίσματα, ἄν μὴ τὸν θεὸν φοβηθέντες καὶ τὴν αἰώνιον κόλασιν διανοηθέντες, φανερώσωσιν αὐτὰ εἰς μέσον καὶ μὴ ἐπιστρέψωσι καὶ ἀποδῶσιν αὐτὰ πρὸς τοὺς κληρονόμους ἐκείνου ἢ ἀμέσως ἢ διὰ μέσου πνευματικοῦ πατρὸς· ἔτι δὲ καὶ ὅσοι ἄλλοι τῶν χριστιανῶν, μηδὲν ἔχοντες λαμβάνειν παρὰ τοῦ ἀποθανόντος, ἔμφανίζονται ἤδη ὡς δανεισταὶ ἐκείνου, ἀπαιτοῦντες δι᾽ ἐπιπλάστων ὁμολογιῶν καὶ ἄλλων ἀνυπάρκτων ἐγγράφων, χρήματα, ἢ ἐνέχυρα, ἐὰν μὴ καὶ οὗτοι παύσωνται τοῦ τοιούτου κακοβούλου τρόπου, καὶ μὴ ὁμολογήσωσι τὰ ἐφάμαρτα τεχνάσματα αὐτῶν ταῦτα, ἀλλὰ παρακούσαντες οἱ μὲν κατακρατήσωσι τὰ ἐκ τοῦ ἐργαστηρίου τοῦ ἀποθανόντος ἁρπαγέντα ἔγγραφα καὶ πράγματα, οἱ δὲ ἐξακολουθοῦσι τὰς ἀμαρτύρους καὶ ἀναποδείκτους ἀπαιτήσεις αὐτῶν· πρὸς δὲ καὶ ὅσοι τῶν χριστιανῶν οἴδασι καλῶς καὶ γνωρίζουσι τοὺς ἅρπαγας ἐκείνους καὶ τὰς γινομένας ἀδίκους ἀπαιτήσεις, ἄν μὴ ὡμολογήσωσι πᾶσαν τὴν ἀλήθειαν διὰ τὴν κατὰ χῶρον τοῦ δικαίου ἀποκατάστασιν, ἀλλὰ χαριζόμενοι ἢ φιλοπροσωποῦντες σιωπήσωσιν, ὡς ἐπίσης φιλάδικοι, ὁμοῦ ἀφωρισμένοι ὑπάρχωσι καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ μετὰ θάνατον ἄλυτοι καὶ τυμπανιαῖοι, αἱ πέτραι καὶ ὁ σίδηρος λυθείησαν αὐτοὶ δὲ μηδαμῶς, κληρονομήσειεν τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα, στένοντες εἶεν καὶ τρέμοντες ἐπὶ τῆς γῆς ὡς ὁ Κάϊν, ἡ ὀργὴ τοῦ θεοῦ εἴη ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ προκοπὴν μὴ ἴδωσιν, ἔχοντες καὶ τὰς ἀρὰς πάντων τῶν ἁγίων, εάν μὴ ποιήσωσιν ὡς γράφομεν:-

ἔτει ͵αων´

Ἐν μηνί Σεπτεμβρίῳ Ἰνδικτιῶνος θ$^{ης}$:-

ὁ Καισαρείας Παΐσιος   ὁ Ἐφέσου Ἄνθιμος   ὁ Ἡρακλείας Πανάρετος   ὁ Κυζίκου Ἰωακείμ

ὁ Ἰωάννης Χαλκηδόνος (;)

SISMANOGLIO MEGARO